Ακαδημία Αθηνών / Academy of Athens

ὀρούοντες, ἣν ἑνὸς μούνου ⟨μὴ⟩ τύχωσι καταφερόμενοι, ἔνθα δεῖ τοὺς π ό δ α ς ἐρεῖσαι, ἀπόλλυνται (χαλεπὸν δὲ τυχεῖν ἑνός· τὸ γὰρ ἴχνιον μοῦνον λέλειπται τῶν π ο δ ῶ ν). || Ξενοφάνης 28.1 γαίης μὲν τόδε πεῖρας ἄνω παρὰ π ο σ σ ὶ ν ὁρᾶται ἠέρι προσπλάζον, τὸ κάτω δ' ἐς ἄπειρον ἱκνεῖται 'Ηράκλειτος 3 εὖρος π ο δ ὸ ς ἀνθρωπείου (sc. ἥλιος).

**πρᾶγμα 1.** Πράγμα/συστατικό, thing/constituent, Φιλόλαος 6.2-6 ἁ μὲν ἐστὼ τῶν π ρ α γ μ ά τ ω ν ἀίδιος ἔσσα ... μὴ ὑπαρχούσας τᾶς ἐστοῦς τῶν π ρ α γ μ ά τ ω ν, ἐξ ὧν συνέστα ὁ κόσμος, καὶ τῶν περαινόντων καὶ τῶν ἀπείρων 11.9-14-17 οὐ γὰρ ἧς δῆλον οὐδενὶ οὐδὲν τῶν π ρ α γ μ ά τ ω ν οὔτε αὐτῶν ποθ' αὑτὰ οὔτε ἄλλω πρὸς ἄλλο, εἰ μὴ ἧς ἀριθμὸς ... νῦν δὲ οὗτος (sc. ἀριθμός) ... σχίζων τοὺς λόγους χωρὶς ἑκάστους τῶν π ρ α γ μ ά τ ω ν τῶν τε ἀπείρων καὶ τῶν περαινόντων. ἴδοις δέ κα οὐ μόνον ἐν τοῖς δαιμονίοις καὶ θείοις π ρ ά γ μ α σ ι τὰν τῶ ἀριθμῶ φύσιν καὶ τὰν δύναμιν ἰσχύουσαν. || Δημόκριτος 164.12 αἱ δὲ περιφερεῖς ταῖς περιφερέσιν ὡς ἂν συναγωγόν τι ἐχούσης τῶν π ρ α γ μ ά τ ω ν τῆς ἐν τούτοις ὁμοιότητος. Πρβλ. χρῆμα **2.** Πράγμα/πράξη, thing/action, Δημόκριτος 35 γνωμέων μευ τῶνδε εἴ τις ἐπαΐοι ξὺν νόῳ, πολλὰ μὲν ἔρξει π ρ ά γ μ α τ' ἀνδρὸς ἀγαθοῦ ἄξια, πολλὰ δὲ φλαῦρα οὐχ ἔρξει. Πρβλ. πρᾶξις, ἔργον.

**πραγματεία.** Πραγματεία, treatise, 'Αρχύτας 4.5 καὶ ἃ ἐκλείπει αὖ ἁ γεωμετρία, καὶ ἀποδείξιας ἁ λογιστικὰ ἐπιτελεῖ καὶ ὁμῶς, εἰ μὲν εἰδέων τεὰ π ρ α γ μ α τ ε ί α, καὶ τὰ περὶ τοῖς εἴδεσιν.

**πραγματεύεσθαι.** Πραγματεύομαι, study/treat, 'Αρχύτας 4.3 καὶ δοκεῖ ἁ λογιστικὰ ποτὶ τὰν σοφίαν τῶν μὲν ἀλλᾶν τεχνῶν καὶ πολὺ διαφέρειν, ἀτὰρ καὶ τᾶς γεωμετρικᾶς ἐναργεστέρω π ρ α γ μ α τ ε ύ ε σ θ α ι ἃ θέλει.

**πραέως.** Μὲ πραότητα, with mildness, Δημόκριτος 46 μεγαλοψυχίη τὸ φέρειν π ρ α έ ω ς πλημμέλειαν.

**πρᾶξις.** Πράξη, action, Δημόκριτος 55 ἔργα καὶ π ρ ή ξ ι α ς ἀρετῆς, οὐ λόγους, ζηλοῦν χρειὼν 66 προβουλεύεσθαι κρεῖσσον

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ